Ὄρνισι. καὶ ἀλλαχοῦ· βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαλμήσω.

574 Βρύλλων: ὑποπίνων· ἀπὸ τοῦ τοῖς παιδίοις λεγομένου. Ἀριστοφάνης· βρύλλων τὸ καθ' ἡμέραν. κλέπτοντά τε βούλομαι τρέφειν ἕνα προστάτην. τοῦτον δ' ὅταν ᾖ πλέως, ταπεινώσας ἐπάταξα. ἀντὶ τοῦ ὅταν γένηται φαεινὸς, τουτέστι πλήρης· ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι, τοῦτον ταπεινὸν ἐποίησα. τουτέστιν, ἐάσας πλουτῆσαι δημεύσω. Ar.

575 Βρυώδης: δυσώδης. Σ

576 Βρύσις. λύσις ὀνείρου· πηγὴ διαυγὴς τὰς νοὸς λύει λύπας. Δ On.

577 Βρύτια: τὰ τῆς σταφυλῆς πιέσματα, ἅ τινες στέμφυλα λέγουσιν. Δ

578 Βρυτίδαι: ὄνομα γένους Ἀττικοῦ. Harp.

579 Βρύχιος: βυθιζόμενος ὕδατι. καὶ Ἐμβρύοικος, ἡ ἄγκυρα ἡ τὸν βυθὸν οἰκοῦσα. καὶ Ἔμβρυον, τὸ ἐγγάστριον βρέφος. ἐν Ἐπιγράμμασι· ἄγκυρον ἐμβρύοικον ἐρυσινηῖδα. ἐπὶ Ἡρακλείου βασιλέως ς' χιλιάδες ἀνδρῶν διεφθάρησαν ἐν τῷ πρὸς Ἰσαύρους πολέμῳ. ὁ δὲ βασιλεὺς Ἡράκλειος χρήματα πλεῖστα καὶ χρυσὸν καὶ ἄργυρον καὶ λίθους πολυτελεῖς πέμπει, ἅπερ βρύχια γέγονεν ἐπὶ Σεργίου πατριάρχου. Σ Δ Anth. |

580 Βρύχων τοὺς ὀδόντας ὁ λέων.

581 Βοίδιον: βοΐδιον. βοίδιον δὲ καλεύμαν τότε ἐγώ· νῦν δὲ Χάρητος εὐνέτις. Ζήτει ποῦ τὸ Βοίβη καὶ Βοιβηΐς λίμνη. Δ Anth.

582 Βοιωτία. καὶ Βοιώτιος νόμος, ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων. Δ Prov.

583 Βοιωτία ὗς: ἐπὶ τῶν ἀναισθητούντων καὶ ἀπαιδεύτων. Prov.

584 Βοῖπις: ἡ βουνώδης γῆ.

585 Βύας: εἶδος ὀρνέου νυκτερινοῦ. καὶ Βύας ὤφθη· καὶ Βύαι ὤφθησαν. Δίων ἐν Ῥωμαϊκοῖς ἐν τέρατος λόγῳ τοῖς Ῥωμαίοις ταῦτα ἐπιφαίνεσθαι πολλάκις λέγει. σημαίνει δὲ συμφοράς. ΔΣ